# ΟΙΚΟΝΟΜΙΚΟΣ ΔΕΥΤΕΡΟΣ

I 1 [1345b7] Τὸν οἰκονομεῖν μέλλοντά τι κατὰ τρόπον τῶν τε τόπων, περὶ οὓς ἂν πραγματεύηται, μὴ ἀπείρως ἔχειν, καὶ τῇ φύσει εὐφυῆ εἶναι καὶ τῇ προαιρέσει φιλόπονόν τε καὶ δίκαιον· ὅ τι γὰρ ἂν ἀπῇ τούτων τῶν μερῶν, πολλὰ διαμαρτήσεται περὶ τὴν πραγματείαν ἣν μεταχειρίζεται. Οἰκονομίαι δέ εἰσι τέτταρες, ὡς ἐν τύπῳ διελέσθαι (τὰς γὰρ ἄλλας εἰς τοῦτο ἐμπιπτούσας εὑρήσομεν)· βασιλική, σατραπική, πολιτική, ἰδιωτική.

2. Τούτων δὲ μεγίστη μὲν καὶ ἁπλουστάτη ἡ βασιλική, ⟨...⟩, ποικιλωτάτη δὲ καὶ ῥᾴστη ἡ πολιτική, ἐλαχίστη δὲ καὶ ποικιλωτάτη ἡ ἰδιωτική. Ἐπικοινωνεῖν μὲν τὰ πολλὰ ἀλλήλαις ἀναγκαῖόν ἐστιν· ὅσα δὲ μάλιστα δι' αὐτῶν ἑκάστῃ συμβαίνει, ταῦτα ἐπισκεπτέον ἡμῖν ἐστιν. Πρῶτον μὲν τοίνυν τὴν βασιλικὴν ἴδωμεν. Ἔστι δὲ αὕτη δυναμένη μὲν τὸ καθόλου, εἴδη δὲ ἔχουσα τέτταρα· περὶ ⟨τὸ⟩ νόμισμα, περὶ τὰ ἐξαγώγιμα, περὶ τὰ εἰσαγώγιμα, περὶ τὰ ἀναλώματα.

3. Τούτων δὲ ἕκαστον. Περὶ μὲν τὸ νόμισμα λέγω ποῖον καὶ πότε [τίμιον ἢ εὔωνον] ποιητέον· περὶ δὲ τὰ ἐξαγώγιμα καὶ εἰσαγώγιμα πότε καὶ τίνα παρὰ τῶν